ΧΟ. βαρύς γε μέντοι Ζηνὸς ἱκεσίου κότος.
Παλαίχθονος τέκος, κλῦθί μου   στρ. ά.
πρόφρονι καρδίᾳ, Πελασγῶν ἄναξ·
ἴδε με *τὰν ἱκέτιν φυγάδα περίδρομον,
λευκόστικτον ὡς δάμαλιν, *ἅ ʼν πέτραις
ἠλιβάτοισιν, ἀλκᾷ πίσυνος, μέμυκε
φράζουσα βοτῆρι μόχθους.
ΒΑ. ὁρῶ κλάδοισι νεοδρόποις κατάσκιον
νέον θ᾽ ὅμιλον τῶνδ᾽ ἀγωνίων θεῶν.
εἴη δ᾽ ἄνατον πρᾶγμα τοῦτ᾽ ἀστοξένων·
μηδ᾽ ἐξ ἀέλπτων κἀπρομηθήτων πόλει
νεῖκος γένηται· τῶν γὰρ οὐ δεῖται πόλις.
ΧΟ. ἴδοιτο δῆτ᾽ ἄνατον φυγὰν   ἀντ. ά.
ἱκεσία Θέμις Διὸς Κλαρίου.
σὺ δὲ παρ᾽ ὀψιγόνου μάθε γεραφρονῶν·
ποτιτρόπαιον αἰδόμενος, † οὔπερ
* * * * * * * * ἱεροδόκα θε-
ῶν λήμματ᾽ ἀπ᾽ ἀνδρὸς ἁγνοῦ.
ΒΑ. οὔτοι κάθησθε δωμάτων ἐφέστιοι
ἐμῶν· τὸ κοινὸν δ᾽ εἰ μιαίνεται πόλις,
ξυνῇ μελέσθω λαὸς ἐκπονεῖν ἄκη.
ἐγὼ δ᾽ ἂν οὐ κραίνοιμ᾽ ὑπόσχεσιν *πάρος,
*ἀστοῖς δὲ πᾶσι *τῶνδε κοινώσας πέρι.

344. με τὰν pro μέγαν Steph.

345. Ita Butl. pro ἀμπέτραις.

350. Ἀστόξενοι· οἱ γένει μὲν προσήκοντες, ἐπὶ δὲ γῆς ἀλλοδαπῆς γεγονότες. Hesyc. Cf. 612.

353. τὰν post δῆτα omnes metri causa omittunt.

356-8. Desunt quædam. In 356. e Scholiastæ interpretatione, οὐ πτωχεύσεις, conjicere posses οὐ πένης v. πένει· sed omnia incerta.

362. πάρος conj. Rob. pro παρ ἄκρος.

363. Vulg. ἀστῶν δὲ πᾶσι τοῖσδε,